| DAPHNIS | LONGUS – I, 9 – UNE STRUCTURE TRÈS RHÉTORIQUE |
|---|---|

| | |
|---|---|
| 1a | Ἦρος ἦν ἀρχὴ καὶ πάντα ἤκμαζεν ἄνθη,<br>• τὰ ἐν δρυμοῖς,<br>• τὰ ἐν λειμῶσι<br>• καὶ ὅσα ὄρεια· |
| 1b | βόμβος ἦν ἤδη μελιττῶν,<br>ἦχος ὀρνίθων μουσικῶν,<br>σκιρτήματα ποιμνίων ἀρτιγεννήτων· |
| 1c | ἄρνες ἐσκίρτων ἐν τοῖς ὄρεσιν,<br>ἐβόμβουν ἐν τοῖς λειμῶσιν αἱ μέλιτται,<br>τὰς λόχμας κατῇδον ὄρνιθες. |
| 2 | Τοσαύτης δὴ πάντα κατεχούσης εὐωρίας<br>οἱ ἁπαλοὶ καὶ νέοι μιμηταὶ τῶν ἀκουομένων ἐγίνοντο καὶ βλεπομένων·<br>• ἀκούοντες μὲν τῶν ὀρνίθων ᾀδόντων ᾖδον,<br>• βλέποντες δὲ σκιρτῶντας τοὺς ἄρνας ἥλλοντο κοῦφα,<br>• καὶ τὰς μελίττας δὲ μιμούμενοι<br>    • τὰ ἄνθη συνέλεγον·<br>    • καὶ τὰ μὲν εἰς τοὺς κόλπους ἔβαλλον,<br>    • τὰ δὲ στεφανίσκους πλέκοντες ταῖς Νύμφαις ἐπέφερον. |